C'est donc la version I dont la tradition manuscrite remonte, elle aussi, comme celle de la version II, au XII[e] siècle, si l'on en juge par l'état du texte du *Scor.* R-II-15, qui représente le texte authentique de la novelle et donne également le texte intégral avec le chapitre Z concernant les foires. L'omission de ce texte par la version II et aussi par les résumés postérieurs de cette novelle[459] ne peuvent pas constituer une indication contre l'authenticité de ce chapitre. Ces résumés omettent d'autres chapitres de cette novelle incontestablement authentiques. D'autre part, ce chapitre est lié avec ce qui précède utilisant les mêmes expressions que les autres chapitres authentiques : ainsi ch. Δ: πρὸς τούτοις θεσπίζομεν ; ch. E: ἐπὶ πᾶσι δὲ τοῖς εἰρημένοις καὶ τοῦτο θεσπίζομεν ; ch. ΣT: ἐπὶ πᾶσι δὲ τοῖς ἀνωτέρω εἰρημένοις διορίζομεν καὶ τοῦτο ; ch. Z: Τελευταῖον δὲ καὶ τὸ περὶ δικαίου τῶν πανηγύρεων... etc. L'authenticité enfin, de ce dernier chapitre semble être aussi garantie par la *Peira*, LVIII, 1[460], qui résume une décision d'Eustathe, et qui, bien qu'elle ne mentionne pas la novelle, est manifestement l'application de ce chapitre, dont il reprend même certaines expressions.

En comparant les chapitres communs entre les deux versions nous avons constaté que la version II non seulement constitue une paraphrase de la

456. ZEPOS, *JGR*, IV, p. 86 ; cf. aussi *Peira*, VIII, 6 : ZEPOS, *JGR*, IV, p. 39 : ὅτι δυνατοῖς κατὰ πενήτων ἀγράφου μαρτυρίας δεικνύειν οὐ συγχωρεῖται παρὰ τῆς νεαρᾶς. Ces passages de la *Peira* confirment la leçon du *Scor.* R-II-15 (=Σ) : ἀγράφως contre celle du reste de la tradition : ἐγγράφως, v. p. 193.

457. *Peira*, IX, 10 : ZEPOS, *JGR*, IV, P. 39.

458. N. SVORONOS, *loc. cit.*, p. 431-432.

459. V. p. 190-191. On doit pourtant noter que la scholie n° 6 des *Bas.* XI, 2, 35 (HEIMBACH, I, 705 : SCHELTEMA, B I, 410), elle non plus, ne connaît que la version II de la novelle, sans le ch. Z, puisque, concernant les meurtres, elle le qualifie comme παρὰ τελευταῖον θέμα.

460. N. SVORONOS, *loc. cit.*, p. 429 sq.

version I, mais aussi qu'elle contient certaines précisions et de modifications qui semblent être des adaptations du texte de cette version à une réalité administrative postérieure. C'est le cas du Pr. 3 de la version II où l'on remplace l'exemple de magistros par celui de patrice et l'on omet le domestique des scholes donnés par les passages correspondants de la version I. C'est aussi le cas du chapitre B où l'on remplace le terme asécrètis par l'expression παρ' ἑτέρων. Ces modifications dénotent, sans doute, un changement dans la hiérarchie administrative à une époque postérieure et sont à mettre en relation avec la dépréciation progressive du titre de magistros et le remplacement des domestiques des scholes par le grand domestique, ainsi que celui de asécrètis par le terme νοτάριος, changements survenus à partir du milieu ou de la fin du XI[e] s.[461].

De même les passages qui manquent à la version I doivent être des additions postérieures: Les paragraphes Pr. 3[α] et A 2[α] où il est question des familles des Maléinoi, des Phocas et des Mousélé, ont dû être écrits après la confiscation des biens de ces familles en application justement de cette novelle, comme on peut le déduire du passage: τῆς δὲ τοιαύτης βοηθείας δηλονότι τῆς ἀπὸ τεσσαρακονταετίας *ἀναιρουμένης* ἀφαιρούμενοι οἱ τῶν δυνατῶν παῖδες τὸν τοιοῦτον πλεονεκτικὸν κλῆρον[462], qui suppose que l'expropriation de la fortune des petits-fils de Romain Mousélé fut la conséquence de cette novelle. On sait, par ailleurs, que la confiscation des biens d'Eustathe Maléinos avait eu lieu après sa mort, donc bien après 1001, date autour de laquelle ce magnat avait reçu Basile II à son retour d'Ibérie et de sa campagne en Syrie[463].

Il semble aussi improbable que ces passages soient des notes marginales ajoutées par Basile lui-même au moment de la signature de la novelle, comme le suggère Zachariae[464]. En effet, on peut difficilement admettre que le passage ajouté à la fin du Pr. 5 (l. 67 sq.) dans la version II d'après lequel la liste des puissants établie par Romain I comprenait les scholaires, soit de Basile II ou même des fonctionnaires de sa chancellerie ; ceci équivaudrait à admettre que Basile II et ses ministres confondaient la novelle de Romain I[465], dans laquelle il n'est pas question des scholaires, avec la novelle de Constantin VII, où effectivement les scholaires figurent parmi les puissants[466].

461. N. SVORONOS, *loc. cit.*, p. 431, 433, où la bibliographie.
462. Ch. A 2, p. 207, l. 104-106.
463. N. SVORONOS, *loc. cit.*, p. 433-434.
464. ZACHARIAE, *JGR*, III, p. 311, n. 33 ; 312, n. 48 ; cf. n. 49 = ZEPOS, *JGR*, I, p. 265, n. 33 ; 266, n. 48 ; cf. p. 267, n. 49.
465. Nov. 3, A 2, p. 84.
466. Nov. 4, Δ 1, p. 102, l. 83.

Nous pensons donc que, la version II représente un remaniement, composé pendant la seconde partie du XI[e] siècle, au plus tôt, et ajouté après coup dans certains manuscrits de la famille A de la SBM[467]. Comme les renseignements contenus dans les passages ajoutés dans cette version ne sont pas à mettre en doute, et montrent que le rédacteur de cette version était au fait des circonstances qui ont dicté la promulgation de cette novelle, on peut émettre l'hypothèse que ces passages proviennent des rescrits impériaux émanant de Basile II, c'est-à-dire des interprétations officielles et autorisées, comme c'est le cas, p. ex., des sentances de Cosmas et du rescrit de Décapolite pour les novelles de Romain I et Romain II, en vue de l'application de cette novelle. Il est encore intéressant de constater que le juriste qui composa le recueil contenu dans *Scor.* R-II-15 a choisi, pour l'insérer dans sa collection, tantôt le texte originel de cette novelle, tantôt des parties de la version II.

Pr. 4 Ἑβδομάριος : c'est la leçon de la plupart des manuscrits, Zachariae a préféré ἑβδομαδάριος. Il s'agit des fonctionnaires subalternes du palais impérial, des chambellans appartenant au service du cubiculum impérial ; ils dépendent du parakoimoménos[468].

Lois et novelles mentionnées

1) Νόμοι (Pr. 3, l. 38) établissant la prescription quarantenaire pour les acquisition des puissants : il s'agit de la novelle n° 5 de Constantin VII (paragraphe A 7) et de celle de Nicéphore Phocas n° 11 (ch. B).

2) διάταξις de Romain I (Pr. 5) comportant la liste des puissants : il s'agit de la novelle n° 3 (A 3 ; ΣT).

3) πρώτη νομοθεσία de Romain I (A 1 ; A 9 et version II, A 2). Il s'agit sans doute, des novelles de Romain I n° 2 (a. 928) n° 3 (a. 934) = la διάταξις ci-dessus mentionnée. C'est à cette dernière que la novelle fait allusion aussi dans le paragraphe Γ 3, l. 142.

4) Les anciennes lois (παλαιοὶ νόμοι: A 1, l. 65-66) d'avant la législation de Romain I qui permettaient aux puissants de faire des acquisitions dans les communes rurales doivent être celles contenues dans les *Basiliques*, ainsi que la loi de Léon VI qui leur donna une nouvelle vigueur. C'est à cette même ancienne législation que se réfère aussi Nicéphore Phocas dans sa novelle n° 11.

5) L'ancienne loi (νόμος παλαιός: E, l. 183) qui excepte les protospathaires et les dignitaires au-desus de ce grade de la peine capitale, en cas de meurtre, est, sans doute, la loi générale des *Bas.* LX, 39, 3, § 5[469] qui prévoit

467. N. SVORONOS, *Synopsis*, p. 69 sq., 76, 164-166.
468. DUCANGE, *Glossarium*, in v.
469. HEIMBACH, V, p. 764.

pour les meurtrieres ἔντιμοι la déportation et la confiscation de leurs biens, et réserve la peine capitale aux εὐτελεῖς. La novelle de Basile II suppose une interprétation de ces termes d'après laquelle les ἔντιμοι, honorables, étaient les dignitaires composant l'ordre sénatorial (les συγκλητικοὶ) que nous retrouvons dans la scolie qui accompagne la loi citée des *Basiliques*; on y lit : τὸ δὲ ε′ θέμ. τοῦ γ′ κεφ. τοῦ παρόντος τίτ. (= *Bas.* LX, 39, 3, § 5) καὶ τὸ α′ θέμ. τοῦ ιζ′ κεφ. τοῦ λς′ τίτ. (= *Bas.* LX, 36, 17, § 1) εἰπόντων περὶ συγκλητικῶν ἐκφωνηθῆναι[470]. De même le chapitre E de la novelle de Basile II est repris textuellement dans la scholie des *Bas.* LX, 39, 16, où il est mis en rapport avec la loi des *Bas.* LX, 39, 3, § 5, et aussi avec *Bas.* LX, 36, 18, § 1[471]. En effet, les *Bas.* LX, 36, 17 et 18 concernent les privilèges judiciaires de l'ordre sénatorial en matière de droit pénal[472]. Encore les dispositions de ce chapitre E de la novelle sont résumées dans la scholie n° 6 des *Bas.* XI, 2, 35, qui reprend aussi le texte de la loi *Bas.* LX, 39, 3, § 5[473]. Ce même chapitre E de la novelle est mis encore en rapport avec la loi générale susdite dans des recueils juridiques plus récents[474].

6) Une πρόσταξις de Basile II promulguée au moment de la chute du parakoimomène Basile, ca 989 : FR. DOLGER, *Regesten*, n° 774.

470. HEIMBACH, V, p. 765.
471. HEIMBACH, V, p. 768-769.
472. HEIMBACH, V, p. 710-713.
473. HEIMBACH, I, p. 705 = SCHELTEMA, IB, p. 410.
474. ATTALEIATES, *Nomikôn Ponèma*, XXXV, 142 : ZEPOS, *JGR*, VII, p. 477 ; *Procheiron Auctum*, XXXIX, 218 : ZEPOS, *JGR*, VII, p. 302 et 220 ; *Synopsis Minor*, lit. Φ, c. 15 et 16 et sc. ε′ ; ZEPOS, *JGR*, VI, p. 538, 541.

LES RUBRIQUES. —

I. Les rubriques de la version I (manuscrits de la famille B)

Νεαρὰ νομοθεσία τοῦ εὐσεβοῦς βασιλέως Βασιλείου τοῦ νέου περὶ τῶν δυνατῶν τῶν ἀπὸ πενήτων ἐπικτωμένων, καταδικάζουσα αὐτοὺς ἀπὸ τῆς $\alpha^{\eta\varsigma}$ νομοθεσίας Ῥωμανοῦ βασιλέως τοῦ πρεσβύτου, ἤγουν ἀπὸ τῆς $\beta^{\alpha\varsigma}$ ἰνδ. τοῦ ,ϛυλζ′ ἔτους.

τοῦ εὐσεβοῦς... νέου ζc ; τοῦ αὐτοῦ α Index α || ἤγουν ζc : ἤτοι α || $\beta^{\alpha\varsigma}$ ἰνδ. τοῦ ,ϛυλζ′ : $\beta^{\alpha\varsigma}$ ἰνδ. τοῦ ,ϛυλβ′ *Paris. gr.* 1388 : $\alpha^{\eta\varsigma}$ ἰνδ. τοῦ ,ϛυλς′ conj. Zach. ||

Les rubriques de la version II (manuscrits de la famille A)

1. Ἡ νεαρὰ τοῦ κυροῦ Βασιλείου τοῦ πορφυρογεννήτου.

Νομοθεσία νεαρὰ Βασιλείου πορφυρογεννήτου δεσπότου ἐκφωνηθεῖσα κατὰ τὸν Ἰανουάριον μῆνα τῆς θ′ ἰνδικτιῶνος τοῦ ,ϛφδ′ ἔτους.

Ἡ νεαρά... πορφυρογεννήτου BD : om. MQS : post Βασιλείου add. βασιλέως G || νομοθεσία νεαρά : νεαρὰ νομοθεσία S, Index SΣ || ante Βασιλείου add. τοῦ κυροῦ Σ || ante πορφυρογεννήτου add. τοῦ S, Index SΣ || post πορφυρογεννήτου add. δεσπότου S Index S ||

2. Manuscrit C

Τοῦ κυροῦ Βασιλείου.

Ἡ νεαρὰ νομοθεσία τοῦ βασιλέως κυροῦ Βασιλείου πορφυρογεννήτου τοῦ νέου.

3. Les Index Q^1J^1 (et leurs dérivés)

Βασιλείου α′. Νεαρὰ Βασιλείου τοῦ πορφυρογεννήτου ἀναιροῦσα τὴν τῆς τεσσαρακονταετίας νομὴν καὶ περί τινων ἄλλων.

Νεαρά : ἑτέρα νεαρὰ J^1 ||

Version I

Pr. 1. Ἐπειδήπερ ἡ βασιλεία ἡμῶν ἀφ' οὗ τὴν αὐτοκρατορικὴν ἀρχὴν Θεοῦ χάριτι ἔλαβε καὶ τὰς ἐναγομένας ὑποθέσεις παρά τε τῶν πλουσίων καὶ τῶν πενήτων ἐπεχείρησε ζητεῖν, εὗρεν ὅτι οἱ βουλόμενοι πλεονεκτεῖν δυνατοὶ τῆς ἰδίας ἐπιθυμίας εὔλογον ἀφορμὴν ἔχουσι τὸν μέχρι τῆς τεσσαρακονταετίας χρόνον καὶ σπουδάζουσιν, εἴτε διὰ ξενίων καὶ δώρων, εἴτε διὰ τῆς ἐνούσης αὐτοῖς δυναστείας, τοῦτον διελθεῖν καὶ τηνικαῦτα κατὰ τελείαν ἔχειν δεσποτείαν ἅπερ κακῶς ἐπλεονέκτησαν τοὺς πένητας, ἐξέθετο τὴν παροῦσαν νομοθεσίαν, τοῦτο μὲν καὶ τὰ προλαβόντα διορθουμένη, τοῦτο δὲ καὶ τοὺς νῦν ἀναστέλλουσα δυνατοὺς καὶ τοὺς μετέπειτα κωλύουσα τοῦ μὴ τοῖς αὐτοῖς ἐπιχειρῆσαι γινώσκοντας, ὡς οὐδεμίαν ἐντεῦθεν βοήθειαν εὑρήσουσιν, ἀλλ' ἀφαιρεθήσονται τὰ ἀλλότρια, οὐκ αὐτοὶ μόνον, ἀλλὰ καὶ οἱ παῖδες αὐτῶν καὶ οἷς ἂν ταῦτα καταλείψωσιν.

2. Ὅτι μὲν οὖν ἡ βασιλεία ἡμῶν οὐκ ἀσκόπως οὐδὲ ἀδοκιμάστως τὴν διὰ χρόνου δεσποτείαν ἀναιρεῖ, ἀλλὰ τοὺς πένητας ἐλεοῦσα καὶ τοῦ κοινοῦ καὶ τῆς συστάσεως αὐτοῦ φροντίζουσα καὶ τὸ δίκαιον ἀσπαζομένη καὶ τὸ τῆς πλεονεξίας δεινὸν πάθος θεραπεύουσα φανερὸν ἔσται ἀφ' ὧν ὀφείλομεν εἰπεῖν. Καὶ γὰρ πλεῖστα παρηνοχλήθημεν ὑπὸ τῶν πενήτων χάριν τούτου καὶ τὰς γινομένας εἰς αὐτοὺς ὁσημέραι πλεονεξίας καὶ ἀδικίας οἰκείοις ὀφθαλμοῖς εἴδομεν διερχόμενοι τὰ θέματα τῆς βασιλείας ἡμῶν καὶ πρὸς τὰ ταξείδια ἀπερχόμενοι.

3. Πῶς γὰρ ἁπλῶς καὶ ὡς ἔτυχεν ἐνεργήσει χρόνος, ὅτε, δυνατὸς ὢν ὁ τὸν πένητα πλεονεκτήσας, διαρκέσειε τῇ δυναστείᾳ, καὶ τὸ δύνασθαι εἰς τοὺς ἐξ αὐτοῦ παραπέμψει καὶ τυχὸν οὗτος μὲν μάγιστρος ἐστὶ καὶ δομέστικος τῶν σχολῶν, οἱ δὲ ἐξ αὐτοῦ ὁμοίως δυνατοί, καὶ μέχρι τῶν ἑβδομήκοντα ἢ καὶ ἑκατὸν χρόνων τὴν εὐπραγίαν αὐτοῖς παρεκτεινομένην ἔχοντες; ἆρα οὖν τούτους οὐ κωλύσομεν καὶ τὸ προσὸν δίκαιον τοῖς πένησιν ἐφ' οἷς κακῶς ἁφηρέθησαν καὶ ἐπλεονεκτήθησαν ἐπιβραβεύσομεν; Τοῦ γὰρ εἰς χωρίων κοινότητας ἐπικτησαμένου ἢ πλεονεκτήσαντος δυνατοῦ τυγχάνοντος καὶ τῶν αὐτοῦ διαδόχων μετὰ τῆς περιουσίας καὶ τὴν δυναστείαν διαδεχομένων καὶ μὴ διδόντων χώραν τῷ πένητι πρὸς τὸ κατ' αὐτῶν κινῆσαι περὶ ὧν κακῶς ἀφείλοντο καὶ ἐπλεονέκτησαν αὐτόν, πάντως πρόδηλον ἐστίν, ὅτι, ὅσος ἂν χρόνος ἐπὶ τῶν τοιούτων διέλθοι,

|| 3 πλεονεκτεῖν: πλεονεκτῶν α || 9 διορθουμένη: διορθούμενοι α || 11 ἐντεῦθεν βοήθειαν: βοήθειαν ἐντεῦθεν c || 12 καὶ οἷς: om. ζ (add. ζ¹) || 16 αὐτοῦ α: αὐτῶν ζc || 21 τά om. α || ἀπερχόμενοι: ἐξερχόμενοι α || 26 αὐτοῖς α: αὐτῶν ζc || 29 τοῦ γάρ: τοῦτο γάρ c || χωρίων Zach. ex. vers. II: χωρίον αζc || κοινότητας Zach.: κοινότητα ζc: κοινότητος α || πλεονεκτήσαντος αζc: πλέον ἐκτίσαντος Zach. || 33 διέλθοι Zach.: διέλθῃ αζc ||

Version II

Pr. 1. Ἐπειδήπερ ἡ βασιλεία μου, ἀφ' οὗ ηὐτοκρατόρησε καὶ τὰς κινουμένας ὑποθέσεις παρά τε τῶν πλουσίων καὶ τῶν πτωχῶν ἐπεχείρησε ζητεῖν, εὗρεν ὅτι οἱ θέλοντες πλεονεκτεῖν δυνατοὶ εὔλογον ἀφορμὴν ἔχουσι τὴν τεσσαρακονταετίαν καὶ σπουδάζουσιν, εἴτε διὰ ξενίων εἴτε διὰ ἰδίας δυναστείας, τὴν τοιαύτην τεσσαρακονταετίαν διαβῆναι καὶ ἔκτοτε κατὰ τελείαν δεσποτείαν ἔχειν ἅπερ κακῶς ἐπλεονέκτησαν τοὺς πένητας, ἐξέθετο τὴν παροῦσαν νομοθεσίαν, τοῦτο μὲν καὶ τὰ προγεγονότα διορθουμένη, τοῦτο δὲ καὶ τοὺς νῦν δυνατοὺς ἀναστέλλουσα, καὶ τοὺς μετέπειτα κωλύουσα γινώσκοντας ὡς οὐδεμίαν ὠφέλειαν ἀπὸ τούτου εὑρήσουσιν, ἀλλ' ἀφαιρεθήσονται τὰ ἀλλότρια, οὐκ αὐτοὶ μόνον, ἀλλὰ καὶ οἱ κληρονόμοι αὐτῶν.

2. Ὅτι μὲν οὖν ἡ βασιλεία ἡμῶν οὐκ ἀσκόπως οὐδ' ἀδοκιμάστως τὴν τεσσαρακονταετίαν ἀνατρέπει, ἀλλὰ τούς πένητας ἐλεοῦσα καὶ τοῦ κοινοῦ καὶ τῆς συστάσεως αὐτοῦ φροντίζουσα καὶ τὸ δίκαιον ἀγαπῶσα καὶ τὴν πλεονεξίαν ἐκκόπτουσα, φανερὸν ἔσται ἐξ ὧν θέλομεν εἰπεῖν. Καὶ γὰρ πολλὰ παρηνοχλήθημεν παρὰ τῶν πτωχῶν χάριν τούτου καὶ τὰς γινομένας εἰς αὐτοὺς καθ' ἑκάστην πλεονεξίας καὶ ἀδικίας τοῖς ἰδίοις ἡμῶν ὀφθαλμοῖς εἴδομεν διερχόμενοι τὰ θέματα τῆς βασιλείας ἡμῶν καὶ πρὸς τὰ ταξείδια ἀπερχόμενοι.

3. Πῶς γὰρ ἁπλῶς καὶ ὡς ἔτυχεν ἐνεργήσει χρόνος, ὅτε, δυνατὸς ὢν ὁ τὸν πένητα πλεονεκτήσας, πολὺν χρόνον ποιήσει δυναστεύων καὶ εὐημερῶν καὶ τὴν δυναστείαν αὐτοῦ καὶ εὐημερίαν εἰς τοὺς διαδόχους αὐτοῦ παραπέμψει, καὶ τυχὸν οὗτος μὲν πατρίκιος ἐστίν, οἱ δὲ ἐξ αὐτοῦ, οἷον ἔγγονοι καὶ δισέγγονοι, ὁμοίως δυνατοὶ καὶ οἰκειότητα ἔχοντες πρὸς τοὺς βασιλεῖς, καὶ μέχρι τῶν ἑβδομήκοντα ἢ ἑκατὸν χρόνων τὴν εὐημερίαν αὐτῶν παρεκτεινομένην ἔχοντες; ἆρα οὖν τούτους οὐ κωλύσομεν καὶ τοῖς πένησιν δώσομεν ἃ κακῶς ἐπλεονεκτήθησαν; Τοῦ γὰρ εἰς κοινότητας χωρίων ἐπικτησαμένου ἢ πλεονεκτήσαντος δυνατοῦ τυγχάνοντος, καὶ τῶν αὐτοῦ διαδόχων πάλιν μετὰ τῆς ὑποστάσεως καὶ τὴν δυναστείαν διαδεχομένων καὶ μὴ διδόντων χώραν τῷ πένητι πρὸς τὸ κατ' αὐτῶν κινῆσαι περὶ ὧν κακῶς ἐπλεονέκτησαν αὐτόν, πάντως πρόδηλον ἐστὶν ὅτι, ὅσος ἂν χρόνος ἐπὶ τούτων διαβῇ, ἀκώλυτος ὁ πένης ἔσται πρὸς τὸ

|| 1 ηὐτοκρατόρησε: ηὐτοκρατόρευσε C || 2 post κινουμένας add. αὐτῶν Q || 3 post δυνατοὶ add. τῆς ἰδίας ἐπιθυμίας ex versione I C^1 || 9 post κωλύουσα add. in marg. ex versione I: τὸ μή τοῖς αὐτοῖς ἐπιχειρῆσαι C^1 || τούτου: τούτους M || 17 εἰς αὐτοὺς καθ' ἑκάστην: καθ' ἑκάστην εἰς αὐτοὺς C || 18-19 τὰ θέματα... ἀπερχόμενοι om. Q (add. in marg. Q^2) || 19 τὰ om. C || 27 ἐπλεονεκτήθησαν: ἐπλεονέκτησαν CG || 27-28 κοινότητας: κοινότητα C || 28 χωρίων: χωρίου Q || 30 αὐτῶν: αὐτοῦ DQ || 32 διαβῇ: διατριβῇ C ||

ἀκώλυτος ὁ πένης ἔσται πρὸς τὸ ζητεῖν καὶ ἀναλαμβάνειν τὸ ἴδιον. Εἰ μὴ γὰρ τοῦτο ποιήσομεν, πάροδον δώσομεν τῷ πλεονέκτῃ τοῦ λέγειν ὅτι, ἐπεὶ ἐγὼ σήμερον εὐημερῶ καὶ οὐ δύναται κατ' ἐμοῦ ὁ πένης κινῆσαι, ἐὰν εὐημερήσῃ καὶ ὁ υἱός μου καὶ διὰ τῆς εὐημερίας ἡμῶν ὁ τοῖς νόμοις ἐγνωσμένος χρόνος διέλθῃ, ἢ ἐγὼ χρονίσω εὐημερῶν, ἔχομεν ἀναφαίρετα τὰ ἐπικτηθέντα καὶ συμφέρει μοι τὸ πλεονεκτεῖν.

4. Πάλιν δὲ πῶς οὐ λογισόμεθα δυνατὸν καὶ ἀδύνατον τὸν ἐξ ἀρχῆς μὲν πένητα, ὕστερον δὲ τιμώμενον καὶ πρὸς ὕψος δόξης καὶ εὐτυχίας ἀναγόμενον, ἀδύνατον μὲν ἕως ὑπάρχει τῶν κάτω καὶ τὸν χρόνον βοηθεῖν αὐτῷ συγχωρήσομεν, δυνατὸν δὲ ἀφ' οὗ καιροῦ τῆς τιμῆς ἀξιωθῇ καὶ τὸν χρόνον μηδὲν αὐτὸν ὠφελοῦντα δείξομεν; οἷα πολλάκις καθ' ἑκάστην ἐστὶν ἰδεῖν συμβαίνοντα καὶ ἄρτι παρ' ἡμῶν εὑρέθη. Καὶ γὰρ εὕρομεν τινὰ γενόμενον μὲν κατ' ἀρχὰς τῶν εὐτελῶν καὶ χωριτῶν ἕνα, ὕστερον δὲ τῶν περιδόξων καὶ πλουσίων ὃς ἕως μὲν ὑπῆρχε τῶν κάτω συνετέλει τοῖς ἑαυτοῦ χωρίταις καὶ οὐδὲν αὐτοὺς ἐκαινοτόμει· ἀφ' οὗ δὲ τοῦτον ὁ θεὸς εἰς τιμὴν ἀνῆξεν ἑβδομαρίου, εἶτα κοιτωνίτου καὶ μετέπειτα πρωτοβεστιαρίου καὶ τὸ ὅλον κατέσχε χωρίον καὶ προάστειον ἴδιον ἐποίησεν. Ἐπεὶ οὖν οὕτως ἀνήχθη καὶ οὕτως ἐγένετο τὰ κατ' αὐτόν, ἐνδεχόμενον ἐστὶν ἵνα δώσομεν τούτῳ χρόνον εἰς βοήθειαν καὶ καταλείψωμεν ἔχειν ἃ κακῶς ἐπλεονέκτησεν οὐδαμῶς. Ὅθεν καὶ ἡ βασιλεία ἡμῶν κατὰ τὸν τόπον διερχομένη καὶ τὸ πρᾶγμα ἐγκλήσει τῶν πενήτων διαγνοῦσα τὰ τούτου οἰκήματα πολυτελῆ ὄντα ἕως ἐδάφους κατέστρεψε καὶ τοῖς μὲν πένησι ἀποδέδωκε τὰ ἑαυτῶν, ἐκείνῳ δὲ κατέλιπεν ὅπερ εἶχε δημόσιον καὶ τῶν χωριτῶν ἕνα ἐποίησε.

45 ἐστὶν ζ[1]c: om. αζ || 48 ἑαυτοῦ αζ: αὐτοῦ c || 49 ἑβδομαρίου: ἑβδομαδαρίου Zach. || 54 πενήτων ζc: πραγμάτων α || 55 τούτου ζc: τούτων α ||

ζητεῖν καὶ ἐπαίρειν τὸ ἴδιον. Εἰ μὴ γὰρ τοῦτο ποιήσομεν, πάροδον δώσομεν τῷ πλεονέκτῃ τοῦ λέγειν ὅτι, ἐπεὶ ἐγὼ σήμερον εὐημερῶ καὶ οὐ δύναται κατ' ἐμοῦ ὁ πένης κινῆσαι, ἐὰν εὐημερήσῃ καὶ ὁ υἱός μου καὶ διὰ τῆς εὐημερίας ἡμῶν διαβῇ τεσσαρακονταετία, ἢ ἐγὼ χρονίσω εὐημερῶν, ἔχομεν ἀναφαίρετα τὰ ἐπικτηθέντα καὶ συμφέροι μοι πλεονεκτεῖν.

3α. Τοῦτο δὲ φανερόν ἐστι καὶ ἀπὸ τῆς γενεᾶς τῶν Μαλεΐνων καὶ πάλιν τῶν Φωκάδων· ὁ μὲν γὰρ πατρίκιος Κωνσταντῖνος ὁ Μαλεΐνος καὶ ὁ μάγιστρος Εὐστάθιος, ὁ τούτου υἱός, μέχρι τῶν ἑκατὸν χρόνων ἢ καὶ τῶν ρκ′ τὴν εὐημερίαν ἔσχον συμπαρεκτεινομένην αὐτοῖς, οἱ δὲ Φωκάδες πολὺ τούτων ἐπέκειναˑ ὅ τε γὰρ πρόπαππος αὐτῶν καὶ πάλιν ὁ πάππος, εἶτα καὶ ὁ πατήρ, μετὰ δὲ ταῦτα καὶ αὐτοὶ οἱ τούτου υἱοί, ἀδιάδοχον σχεδὸν εἰπεῖν ἕως ἡμῶν εἶχον τὴν δυναστείαν· καὶ πῶς οἱ τοιοῦτοι βοηθοῦντα τὸν χρόνον ἕξουσι;

4. Πάλιν δὲ πῶς οὐ λογισόμεθα δυνατὸν καὶ ἀδύνατον τὸν ἐξ ἀρχῆς μὲν πένητα, ὕστερον δὲ τιμώμενον καὶ πρὸς ὕψος δόξης ἀναγόμενον; ἀδύνατον μέν, ἕως ὑπάρχει τῶν κάτω, καὶ τὸν χρόνον βοηθεῖν αὐτῷ συγχωρήσομεν; δυνατὸν δέ, ἀφ' οὗ καιροῦ τιμηθῇ, καὶ τὸν χρόνον μηδὲν αὐτὸν ὠφελοῦντα δείξομεν; οἷα πολλάκις καθ' ἑκάστην ἔστιν ἰδεῖν συμβαίνοντα καὶ ἄρτι παρ' ἡμῶν εὑρέθη. Καὶ γὰρ εὕρομεν τὸν Φιλοκάλην γενόμενον μὲν κατ' ἀρχὰς τῶν εὐτελῶν καὶ χωριτῶν ἕνα, ὕστερον δὲ τῶν περιδόξων καὶ πλουσίων, ὅς, ἕως μὲν ὑπῆρχε τῶν κάτω, συνετέλει τοῖς ἑαυτοῦ συγχωρίταις καὶ οὐδὲν αὐτοὺς ἐκαινοτόμειˑ ἀφ' οὗ δὲ τοῦτον εἰς τιμὴν ὁ θεὸς ἀνῆξεν ἑβδομαρίου, εἶτα κοιτωνίτου καὶ μετὰ ταῦτα πρωτοβεστιαρίου, τὸ ὅλον ἐκ τοῦ κατ' ὀλίγον ἐκράτησε χωρίον καὶ προάστειον ἴδιον ἐποίησεν ἐναλλάξας καὶ τὴν ἐπωνυμίαν τοῦ τοιούτου χωρίου. Ἐπεὶ οὖν οὕτως ἀνήχθη καὶ οὕτως ἐγένετο τὰ κατ' αὐτόν, ἐνδεχόμενον ἐστὶ ἵνα δώσομεν τούτῳ χρόνον εἰς βοήθειαν καὶ καταλείψομεν ἔχειν ἃ κακῶς ἐπλεονέκτησεν; οὐκ ἔστι δίκαιον. Ὅθεν καὶ ἡ βασιλεία ἡμῶν κατὰ τὸν τόπον διαβαίνουσα καὶ τὸ πρᾶγμα ἐγκλήσει τῶν πενήτων διαγνοῦσα τὰ τούτου οἰκήματα πολυτελῆ ὄντα κατέστρεψεν ἕως ἐδάφους, καὶ τοῖς πένησι τὰ ἑαυτῶν ἀποδέδωκεν, ἐκείνῳ δὲ κατέλιπεν ὅπερ ἐξ ἀρχῆς εἶχε δημόσιον καὶ τῶν χωριτῶν ἕνα πάλιν αὐτὸν ἐποίησεν.

34 εὐημερῶ: εὐημερῶν DM || 35 κατ' ἐμοῦ ὁ πένης: ὁ πένης κατ' ἐμοῦ E || 36 διαβῇ om. M || 42-43 καὶ πάλιν ὁ πάππος CQ: om. cett. || 43 αὐτοὶ CQ[1]: om. cett || 44 ἀδιάδοχον: ἀδιάδιχον H || 49-50 μηδὲν αὐτόν: αὐτὸν μηδὲν M || 54 συγχωρίταις: χωρίταις M || 54-55 εἰς τιμὴν ὁ θεός: ὁ θεὸς εἰς τιμὴν C || 55 ἑβδομαρίου: ἑβδομαδαρίου Zach. || 58 ἐγένετο: ἐγενοντο C || 59 τούτῳ CQ[1]: τοῦτο cett. ||

5. Δυνατοὶ δὲ λογιζέσθωσαν μὴ μόνον οἱ τοιοῦτοι, ἀλλὰ καὶ πάντες οἱ ἐν τῇ διατάξει τοῦ προπάππου ἡμῶν βασιλέως Ῥωμανοῦ τοῦ γέροντος περιεχόμενοι καὶ κατὰ μέρος ἐν ἐκείνῃ ἀναγραφόμενοι.

A 1. Διὰ ταῦτα τοιγαροῦν θεσπίζομεν διὰ τῆς παρούσης ἡμῶν νομοθεσίας τὰ μὲν μέχρι τῆς πρώτης νομοθεσίας τοῦ προπάππου ἡμῶν βασιλέως Ῥωμανοῦ τοῦ γέροντος ἐπικτηθέντα τοῖς δυνατοῖς εἰς χωρίων κοινότητας δι' ἐγγράφων δικαιωμάτων καὶ συστατικῶν μαρτυριῶν τὸ βέβαιον ἔχοντα φυλάττεσθαι καὶ εἶναι παρ' αὐτοῖς, καθὰ καὶ τοῖς παλαιοῖς διηγόρευται νόμοις. Διὰ τοῦτο γὰρ ἔγγραφα δικαιώματα καὶ συστατικὰς μαρτυρίας παράγεσθαι βουλόμεθα, ὅπως μὴ κατὰ περίνοιαν οἱ δυνατοὶ τὰ νεωστὶ αὐτοῖς ἐπικτηθέντα προφασίσωνται διαφέρειν αὐτοῖς ἀγράφως ἔκπαλαι τῶν χρόνων· ἀπὸ τότε δὲ καὶ μέχρι τῆς νῦν, ἥτις ἐστὶ πρώτη τοῦ ἰαννουαρίου μηνὸς τῆς θ' ἰνδικτιῶνος τοῦ ,ςφδ' ἔτους, ἀλλὰ καὶ εἰς τὸ ἑξῆς, ἐπεὶ καὶ παραγγελία ἔγγραφος ἐξηνέχθη διὰ τῆς δηλωθείσης νομοθεσίας τοῦ προπάππου ἡμῶν καὶ βασιλέως Ῥωμανοῦ τοῦ γέροντος μηδὲν ὅλως δύνασθαι τὸν χρόνον μήτε τινὰ τὸ καθόλου κατὰ τῶν πενήτων ἐνέργειαν ἔχειν ὅπου μετὰ δυνατῶν ἔχουσιν, ἀλλ' ἀντιστρέφεσθαι τοῖς πένησι τὰ ἑαυτῶν, μηδὲ περὶ τὴν ἀνάληψιν τῶν τιμημάτων ἢ τῶν βελτιώσεων δικαιουμένων τῶν δυνατῶν, διότι καὶ τὴν εἰρημένην νομοθεσίαν παραβάντες εὑρίσκονται καὶ μᾶλλον εὐθύνεσθαι εἰσὶν ἄξιοι. Γράψας γὰρ ὁ ῥηθεὶς πρόπαππος ἡμῶν καὶ βασιλεὺς Ῥωμανὸς ὁ γέρων καὶ εἰπὼν ὅτι ἀπὸ τοῦ νῦν κωλύω τοὺς δυνατοὺς μὴ ποιεῖν ἐπικτήσεις εἰς κοινότητας χωρίων, ἔδειξεν ὡς δι' αἰῶνος καὶ εἰς ἀπέραντον τούτους ἐκώλυσε καὶ χρόνον οὐ δέδωκεν αὐτοῖς βοηθείας.

59 ἐν om. αζ || 64 μαρτυριῶν Zach. ex versio II: μαρτύρων αζc || 65 παρ' om. c || 68-69 ἀγράφως Σ: ἐγγράφως αζc || 69 τῆς νῦν ζc: τοῖς νῦν α || 70 ,ςφδ' ζc: ,ςφ' α || 74 post μετὰ add. τῶν Zach. || 76 δικαιουμένων ζc: δικαιωμένων α ||

5. Δυνατοὶ δὲ λογιζέσθωσαν μὴ μόνον οἱ τοιοῦτοι, ἀλλὰ καὶ πάντες οἱ ἀναγραφόμενοι κατὰ μέρος ἐν τῇ διατάξει τοῦ προπάππου ἡμῶν καὶ βασιλέως Ῥωμανοῦ τοῦ γέροντος· οὗτος γὰρ καὶ αὐτοὺς τοὺς σχολαρίους δυνατοὺς ὠνόμασεν, ἡμεῖς δὲ λέγομεν καὶ τούτους δυνατούς, προστίθεμεν δὲ καὶ πρωτοκεντάρχους, καὶ γὰρ καὶ τούτους δυνατοὺς ἤδη πραγματικῶς διέγνωμεν.

Α 1. Διὰ ταῦτα τοιγαροῦν θεσπίζομεν διὰ τῆς παρούσης ἡμῶν νομοθεσίας τὰ μὲν μέχρι τῆς πρώτης νομοθεσίας τοῦ προπάππου ἡμῶν καὶ βασιλέως Ῥωμανοῦ τοῦ γέροντος ἐπικτηθέντα τοῖς δυνατοῖς εἰς χωρίων κοινότητας, ἀλλὰ δι' ἐγγράφων δικαιωμάτων καὶ συστατικῶν μαρτυριῶν τὸ βέβαιον ἔχοντα, δεσπόζεσθαι παρ' αὐτῶν, καθὼς καὶ οἱ παλαιοὶ νόμοι λέγουσι. Διὰ τοῦτο δὲ τὰ ἔγγραφα δικαιώματα καὶ τὰς συστατικὰς μαρτυρίας προκομίζεσθαι βουλόμεθα, ὅπως οἱ δυνατοὶ μὴ προφασίσωνται κατὰ περίνοιαν τὰ νεωστὶ αὐτοῖς ἐπικτηθέντα κρατεῖσθαι παρ' αὐτῶν ἀπὸ παλαιοῦ· ἀπὸ τότε δὲ καὶ μέχρι τοῦ νῦν, ἥτις ἐστὶν πρώτη τοῦ ἰαννουαρίου μηνὸς τῆς θ' ἰνδικτιῶνος τοῦ ,ςφδ' ἔτους, ἀλλὰ καὶ εἰς τὸ ἑξῆς, ἐπεὶ καὶ παραγγελία ἔγγραφος ἐγένετο διὰ τῆς δηλωθείσης νομοθεσίας τοῦ προπάππου ἡμῶν καὶ βασιλέως Ῥωμανοῦ τοῦ γέροντος, μηδὲν τὸ σύνολον ἰσχύειν ἢ ἀκούεσθαι τὴν τεσσαρακονταετίαν, μήτε τὸ καθόλου κατὰ τῶν πενήτων ἐνέργειαν τινὰ ταύτην ἔχειν, ὅπου μετὰ δυνατῶν ἔχουσιν, ἀλλ' ἀντιστρέφεσθαι τοῖς πένησιν τὰ ἴδια, μήτε μὴν τοὺς δυνατοὺς δικαιοῦσθαι εἰς τὸ ἀναλαβεῖν τὰ τιμήματα τῶν τοιούτων τόπων ἢ τὰς βελτιώσεις, ἀλλ' ἀπόλλειν καὶ τὰ τιμήματα καὶ τὰς βελτιώσεις διότι καὶ τὴν εἰρημένην νομοθεσίαν παραβάντες εὑρίσκονται καὶ μᾶλλον ἄξιοι εἰσὶν εὐθύνεσθαι. Γράψας γὰρ ὁ ῥηθεὶς πρόπαππος ἡμῶν καὶ βασιλεὺς Ῥωμανὸς ὁ γέρων καὶ εἰπών, ὅτι ἀπὸ τοῦ νῦν κωλύω τοὺς δυνατοὺς τοῦ μὴ ποιεῖν ἐπικτήσεις εἰς κοινότητας χωρίων, ἔδειξεν ὅτι δι' ὅλου καὶ εἰς ἀπέραντον ἐκώλυσεν αὐτούς, καὶ τὴν τεσσαρακονταετίαν οὐ δέδωκεν αὐτοῖς εἰς βοήθειαν.

|| 66 καὶ om. M || 68-69 προστίθεμεν: προτίθεμεν CQ || 69 post καὶ[1] add. τοὺς C || 72 τὰ μὲν μέχρι C: τὰ ἀπὸ τὰ πρὸ M: om. DGQ || καί om. CM || 74 ἀλλὰ delevit C[1] || 74-75 καὶ συστατικῶν... αὐτῶν om. Q || 74 μαρτυριῶν: μαρτυρίων DG || 75 δεσπόζεσθαι παρ' αὐτῶν: φυλάττεσθαι καὶ εἶναι παρ' αὐτοῖς post. ras. ex versione I scr. C[1] || καθώς: καθὰ CGQ || 79 ἀπὸ τότε δέ: καὶ μὴ μόνον ἀπὸ τοῦδε H || 80-81 εἰς τὸ ἑξῆς: εἰστοεξῆς C || 82 καὶ CHQ: om. cett. || 86-87 τῶν τοιούτων τόπων: τούτων τῶν τόπων M || 87 ἢ τάς... τιμήματα om. E || 91 μὴ om. M ||

2. Οὐκ εἰς τὸ ἑξῆς δὲ μόνον ὡς εἴρηται ταῦτα νομοθετοῦμεν, ἀλλὰ καὶ κατὰ τὸν ὄπισθεν χρόνον ὃν εἰπομεν τὴν νομοθεσίαν ταύτην εἰσάγομεν. Εἰ γὰρ ὅσα τῶν παρελθόντων ἄρτι κινοῦνται μὴ διορθωσόμεθα, πῶς ἂν τὰ μέλλοντα φυλαχθεῖεν καὶ οἱ μετέπειτα φοβηθεῖεν καὶ τῶν ἀπηγορευμένων ἀπόσχοιντο;

B 1. Ἐπεὶ δὲ καὶ δόλους πολλοὺς εὕρομεν εἰς τοὺς ἀναγραφομένους ἐν τοῖς χρυσοβουλλίοις περιορισμοὺς καὶ τοιαῦτα πολλὰ πρὸ τοῦ βήματος ἡμῶν ἐκινήθησαν, διοριζόμεθα μηδὲν ὅλως ἰσχύειν τοὺς δηλωθέντας περιορισμούς, μηδέ τινα δικαίωσιν ἐκ τούτων ἔχειν, ἀμφιβολίας παρεμπιπτούσης, τοὺς προσκομίζοντας αὐτούς· οὐ γὰρ εἰδήσει καὶ γνώμῃ βασιλικῇ, ἀλλὰ τῶν λαμβανόντων αὐτοὺς ἐκτίθενται. Ἀλλ' οὐδὲ πάλιν οἱ τοῖς χρυσοβουλλίοις ἀναγράφοντες αὐτοὺς ἀσηκρῆται πάρεισιν ἐπὶ τοῦ τόπου καὶ βλέπουσιν, ὅτε τὸ μέτρον καὶ ἡ ἔκθεσις αὐτῶν γίνεται, καὶ διὰ τοῦτο, καθὰ δεδήλωται, ἀκύρους εἶναι καὶ μηδεμίαν ἔχειν ἐνέργειαν οἷς ἀμφιβολία παραμπέσοι βουλόμεθα. Εἰ δὲ καὶ οἱ τοιοῦτοι περιορισμοὶ ἐν τοῖς τοῦ γενικοῦ σεκρέτου κωδίκοις ἤ τισιν ἑτέροις συστατικοῖς δικαίοις τυγχάνουσι, καὶ ἀκούεσθαι καὶ τηρεῖσθαι τούτους παρακελευόμεθα.

|| 91 προσκομίζοντας ac: προκομίζοντας ζ || 92 ἐκτίθενται: ἐκτίθεται ζ || 93 ἀσηκρῆται ζc: ἀσηκρῆτις α: πρωτασηκρῆται in marg. ζ¹ Zach. || 93-94 ἐπὶ τοῦ τόπου αζ: ἐπὶ τόπου c Zach. || 95 ἀκύρους c Zach.: ἄκυρος αζ || 98 τυγχάνουσι ζ¹c: τυγχάνει αζ ||

2. Οὐ μόνον δὲ εἰς τοὺς ἔμπροσθεν χρόνους ταῦτα νομοθετοῦμεν, ἀλλὰ καὶ κατὰ τῶν διαβάντων χρόνων εἰσάγομεν τὴν νομοθεσίαν ταύτην, δηλονότι ἀφ' οὗ ἡ νομοθεσία τοῦ προπάππου ἡμῶν καὶ βασιλέως τοῦ κυροῦ Ῥωμανοῦ τοῦ γέροντος ἐξετέθη. Εἰ γὰρ μὴ διορθωσόμεθα ἄρτι ὅσα κινοῦνται ἀπὸ τῶν παρελθόντων, πῶς ἔχουσι φυλαχθῆναι τὰ μέλλοντα καὶ πῶς ἔχουσι φοβηθῆναι καὶ ἀνασταλῆναι οἱ μετέπειτα καὶ πῶς ἔχουσι παῦσαι τοῦ ποιεῖν τὰ τοιαῦτα;

2α. Ὃ δὲ πάντων ἐστὶ χαλεπώτερον, ὅτι τὰ ἀπὸ ἁρπαγῆς καὶ πλεονεξίας συνιστάμενα κτήματα καταλιμπάνουσιν οἱ δυνατοὶ τοῖς ἑαυτῶν παισὶν ἐλπίδι τῆς τεσσαρακονταετίας ἀναφαίρετον ἔχειν τὴν δεσποτείαν τῶν τοιούτων οἰόμενοι, τῆς δὲ τοιαύτης βοηθείας, δηλονότι τῆς ἀπὸ τῆς τεσσαρακονταετίας, ἀναιρουμένης, ἀφαιρούμενοι οἱ τῶν δυνατῶν παῖδες τὸν τοιοῦτον πλεονεκτικὸν κλῆρον ὃν ἐκ πατέρων ἔλαβον, εἰς ἀπορίαν καταντῶσι καὶ τελείαν ἔνδειαν, οἷα καὶ παρὰ τῆς βασιλείας ἡμῶν ἔπαθον οἱ τοῦ μαγίστρου Ῥωμανοῦ τοῦ Μουσελὲ ἔγγονοι· καὶ γὰρ οὗτοι κατὰ τὸ Φιλομίλιον τοιαύτην περιουσίαν ἐκ πάππων τε καὶ πατέρων καταληφθεῖσαν αὐτοῖς ἔχοντες, καὶ ταύτην ἐγκλήσει τῶν πενήτων ἀφαιρεθέντες, κατήντησαν καὶ αὐτοὶ εἰς πενίαν. Τὴν οὖν τοιαύτην ἀδικίαν καὶ ἀνισότητα ἡ βασιλεία ἡμῶν ἐκτέμνουσα, καὶ πᾶσι πλουσίοις τε καὶ πτωχοῖς τὰ συμφέροντα καὶ δίκαια ἐπιβραβεύουσα, τὸν τῆς τεσσαρακονταετίας χρόνον ἀναιρεῖ, ὡς ἂν καὶ οἱ δυνατοὶ τοῦτο γινώσκοντες, τοιοῦτον κλῆρον τοῖς ἑαυτῶν παισὶ μὴ καταλιμπάνωσιν, ἀλλὰ καὶ οἱ πένητες τῶν ἰδίων στερούμενοι μὴ ἀπογινώσκωσιν, ἄλλ' ἔχωσιν βεβαίαν τὴν ἀπὸ τῆς παρούσης νομοθεσίας βοήθειαν πρὸς τὴν τῶν ἰδίων ἀνάληψιν.

Β 1. Ἐπεὶ δὲ καὶ εἰς τοὺς περιορισμοὺς τῶν χρυσοβουλλίων εὑρίσκονται τόποι πολλοὶ πενήτων συμπεριλαμβανόμενοι, οὐ μὴν ἀλλὰ καὶ βασιλικὰ λιβάδια, καὶ ὡς ἐκ τούτου οἱ τὰ χρυσόβουλλα λαμβάνοντες τοιούτους τόπους προφάσει τοῦ περιορισμοῦ κατέχουσιν, οἷα πολλὰ εὗρεν ἡ βασιλεία ἡμῶν εἴς τε τὴν ἀνατολὴν ὅλην σχεδὸν καὶ εἰς πᾶσαν τὴν δύσιν ἐν ταῖς ἐκστρατείαις διατρίβουσα, παρακελεύεται τοῦ μηδὲν ὅλως ἰσχύειν τοὺς τοιούτους περιορισμούς, μηδέ τινα δικαίωσιν ἐκ τούτων ἔχειν, ἀμφιβολίας παρεμπιπτούσης, τοὺς προκομίζοντας αὐτούς, οὐδὲ γὰρ οἱ τοιοῦτοι περιορισμοὶ παρὰ τῆς βασιλείας μου γίνονται, ἵνα τελείαν ἔχου-

97-98 ἄρτι ὅσα κινοῦνται: ἄρτι τὸν παρόντα κανόνα ἐφ' ὅσα κινοῦνται post. ras. scr. Q^1 || 100 τοῦ om. M || 101 ἀπό: ἐξ H || 103 ἐλπίδι: ἐλπίδα DEG || 108 Μουσελέ: Μουσηλὲ C || ἔγγονοι: ἔκγονοι M || 109 πατέρων: προπάππων M || 110-111 καὶ ταύτην... ἀφαιρεθέντες CQ^1: om. cett. || 117 νομοθεσίας om. C || 118 in marg. tit. περὶ περιορισμ(ῶν) Q: om. cett. || 121 προφάσει CQ^1M: προφάσεως Q (ante ras.) DG: ἐκ προφάσεως Zach. || οἷα: διὰ τοῦτο D || 125 οἱ CQ^1: om. cett. ||

Γ 1. Ἐπεὶ δὲ καὶ παρὰ πάντων σχεδὸν εἰπεῖν τῶν θεμάτων ἐκινήθη ἐνώπιον τῆς βασιλείας ἡμῶν, ὅτι πολλὰ τῶν χωρίων εὑρίσκεται βλαπτόμενά τε καὶ ἀδικούμενα, τινὰ δὲ καὶ ἀφανιζόμενα παρ' ὀλίγον ἀπὸ τῆς τῶν μοναστηρίων ἀφορμῆς, εὑρίσκεται γάρ, ὡς λέγουσιν, εἰς πολλὰ τῶν χωρίων ὅτι ἐποίησέ τις χωρίτης ἐκκλησίαν εἰς τὸν ἴδιον τόπον καὶ ἀφώρισε ταύτῃ τὴν ἰδίαν μοῖραν, ἐγένετο δὲ καὶ αὐτὸς μοναχὸς καὶ ἐκάθητο ἐν αὐτῇ ἕως ἔζη, ἐποίησε δὲ τὰ αὐτὰ καὶ ἄλλος χωρίτης καὶ ἕτερος ὁμοίως καὶ ἐγένοντο δύο καὶ τρεῖς ἐκεῖ μοναχοί, εἶτα τελευτησάντων αὐτῶν κατέσχε τὴν ἐκκλησίαν ὁ ἐπὶ τοῦ τόπου μητροπολίτης τυχὸν ἢ ἐπίσκοπος καὶ ἰδιοποιήσατο ταύτην καὶ ὠνόμασε μοναστήριον, καὶ τὰ μὲν τῶν τοιούτων μοναστηρίων αὐτοὶ ἐκεῖνοι κατέχοντες οἱ μητροπολῖται ἢ ἐπίσκοποι, τὰ δὲ κατὰ δωρεὰν δυνατοῖς τισι δίδοντες πλεονεκτοῦσι τὰ χωρία καὶ ἀδικοῦσι καὶ ἐξαλείφουσι, κελεύομεν ὅσα τοιαῦτα καὶ οὕτω γενόμενα εὐκτήρια, οὐδὲ γὰρ μοναστήρια λέγομεν, εὑρίσκονται ἀποδίδοσθαι ταῦτα πάντα πάλιν τοῖς πένησι, τὸ δὲ τῆς μητροπόλεως ἢ τῆς ἐπισκοπῆς μέρος ἐκεῖθεν τελείως ἐκβάλλεσθαι. Εἰ δὲ καὶ προσώποις τισὶν ἐδωρήσαντο ταῦτα οἱ μητροπολῖται ἢ ἐπίσκοποι, καὶ τὰ τοιαῦτα πρόσωπα ἐκεῖθεν ἀποδιώκεσθαι, εἰ τάχα καὶ πολὺν ἔχουσι χρόνον, ὁρίζομεν, ἀλλὰ τὰ εὐκτήρια πάλιν ὡς εἴρηται τοῖς χωρίταις ἀποκαθίστασθαι, καὶ εἶναι μὲν εἰς τὸ ἑξῆς εὐκτήρια, ἀλλ' ὑπὸ τὰ χωρία, καὶ καλογήρους ἐν αὐτοῖς ὑπάρχειν ὅσοι καὶ πρώην ὑπῆρχον, μόνην δὲ τὴν ἀναφορὰν ἐν αὐτοῖς καὶ τὴν σφραγίδα καὶ τὴν διόρθωσιν τῶν ἴσως γενομένων σφαλμάτων παρὰ τῶν καλογήρων τῶν μητροπολιτῶν τυχὸν ἢ τῶν ἐπισκόπων εἶναι, καὶ μήτε συνήθειαν μήτε τι ὁπωσοῦν ἄλλο ἐκ τούτων λαμβάνειν ὡς δῆθεν ἀπὸ μοναστηρίων, ἀναγκάζεσθαι δὲ τὰ τοιαῦτα χωρία τοῦ ἔχειν ἐν τοῖς δηλωθεῖσιν εὐκτηρίοις καλογήρους, ὅσοι καὶ πρότερον ἐν αὐτοῖς ἦσαν.

|| 104 ταύτῃ ζc: ταύτην α || 108 μοναστήριον ζc: μοναστήρια α || 110 δίδοντες αζc: διδόντες Zach. || 112 εὑρίσκονται ζc: εὑρίσκομεν α || 113 πάντα om. α || 113-114 τῆς ἐπισκοπῆς c: τοῖς ἐπισκοπῆς ζ¹: τοῖς ἐπισκόποις αζ || || 121-122 εἶναι ζc: ἔχειν α ||

σα τὴν τούτων κατάληψιν βεβαίους αὐτοὺς καὶ ἀμεταβλήτους ἡγῆται, ἀλλὰ τὴν μὲν τοῦ χρυσοβουλλίου δωρεὰν ἡ βασιλεία μου ἐκτίθησιν, οἱ δὲ περιορισμοὶ παρ' ἑτέρων γινόμενοι τὸ ἀξιόπιστον καὶ ἀσφαλὲς καὶ βέ-
130 βαιον ὡς ἀπὸ τῆς τοῦ χρυσοβουλλίου δυνάμεως ἔχειν ἴσως οὐ δύνανται.

Γ 1. Ἐπεὶ δὲ καὶ παρὰ πάντων σχεδὸν εἰπεῖν τῶν θεμάτων ἐκινήθη ἐνώπιον τῆς βασιλείας ἡμῶν, ὅτι πολλὰ τῶν χωρίων εὑρίσκονται βλαπτόμενά τε καὶ ἀδικούμενα, τινὰ δὲ καὶ ἀφανιζόμενα παρ' ὀλίγον ἀπὸ τῆς τῶν μοναστηρίων ἀφορμῆς, εὑρίσκεται γὰρ εἰς πολλὰ τῶν χωρίων, ὅτι
135 ἐποίησέ τις χωρίτης ἐκκλησίαν εἰς τὸν ἴδιον τόπον καὶ ἀφώρισε ταύτῃ τὴν ἰδίαν μοῖραν βουλομένων καὶ τῶν συγχωριτῶν αὐτοῦ, ἐγένετο δὲ καὶ αὐτὸς καλόγηρος καὶ ἐκάθητο ἐν αὐτῇ ἕως ἔζη, ἐποίησε δὲ τὰ αὐτὰ καὶ ἄλλος χωρίτης καὶ ἕτερος ὁμοίως καὶ ἐγένοντο δύο καὶ τρεῖς καλόγηροι, εἶτα τελευτησάντων αὐτῶν ἐκράτησε τὴν ἐκκλησίαν ὁ ἐπὶ τοῦ τόπου
140 μητροπολίτης τυχὸν ἢ ἐπίσκοπος καὶ ἰδιοποιήσατο ταύτην καὶ ὠνόμασεν μοναστήριον, καὶ ὅτι τὰ μὲν τῶν τοιούτων μοναστηρίων αὐτοὶ ἐκεῖνοι κρατοῦντες οἱ μητροπολῖται ἢ οἱ ἐπίσκοποι, τὰ δὲ κατὰ δωρεὰν τισὶ διδόντες πλεονεκτοῦσι τὰ χωρία καὶ ἀδικοῦσι καὶ ἐξαλείφουσιν. Ἐπεὶ οὖν πολλὰ τοιαῦτα πρὸ τοῦ βήματος ἡμῶν ἐκινήθησαν, κελεύομεν ὅσα
145 τοιαῦτα καὶ οὕτω γενόμενα εὐκτήρια εὑρίσκονται, οὐδὲ γὰρ μοναστήρια λέγομεν αὐτά, ἵνα πάλιν ταῦτα ἀντιστρέφωνται τοῖς πένησιν, τὸ δὲ τῆς μητροπόλεως ἢ τῆς ἐπισκοπῆς μέρος ἐκεῖθεν τελείως ἐκβάλληται. Εἰ δὲ καὶ προσώποις τισὶν ἐδωρήσαντο ταῦτα οἱ μητροπολῖται ἢ οἱ ἐπίσκοποι, ἵνα καὶ τὰ τοιαῦτα πρόσωπα ἐκεῖθεν ἀποδιώκωνται, εἰ τάχα καὶ πολὺν
150 ἔχουσιν χρόνον τὴν δεσποτείαν αὐτῶν· οὐδὲν γὰρ ἰσχύειν τὸν χρόνον εἰς ταῦτα ὁρίζομεν, ἀλλ' ὡς εἴρηται παρακελευόμεθα, ἵνα τὰ μὲν εὐκτήρια τοῖς χωρίταις ἀποκαθιστῶνται καὶ ὦσιν καὶ εἰς τὸ ἑξῆς εὐκτήρια, ἀλλ' ὑπὸ τὰ χωρία καὶ καλόγηροι ἐν αὐτοῖς ὑπάρχωσιν ὅσοι καὶ πρώην ὑπῆρχον, οἱ δὲ μητροπολῖται ἢ οἱ ἐπίσκοποι μόνην τὴν ἀναφορὰν ἐν αὐτοῖς
155 καὶ τὴν σφραγίδα καὶ τὴν διόρθωσιν τῶν ἴσως γενομένων σφαλμάτων παρὰ τῶν καλογήρων ἔχωσι, καὶ μήτε συνήθειαν, μήτε τι ὁπωσοῦν ἄλλο ἐκ τούτων λαμβάνωσιν, ὡς δῆθεν ἀπὸ μοναστηρίου, ἵνα δὲ ἀναγκάζων-

130 ἔχειν: om. C || 131 in marg. περὶ τῶν μοναστηρίων: om. C || παρά: περὶ C || 132 εὑρίσκονται: εὑρίσκεται C || 133 δὲ καὶ C: καὶ om. cett. || 136-137 καὶ αὐτὸς CMQ[1]: om. DGQ || 137 καλόγηρος: καλόγηρως CQ || ἐκάθητο: ἐκάθισεν D || τὰ αὐτὰ CQ: τὰ om. DGM || 137-138 καὶ ἄλλος CQ[1]: καὶ om. cett. || 142 ἢ οἱ M: οἱ om. CDGQ || 145 εὐκτήρια om. C || 145-146 οὐδέ... ἀντιστέφωνται om. G (add. in marg. G[1]) || 146 αὐτά: om. CQ (add. Q[1]) || ἵνα πάλιν ταῦτα: ἵνα αὐτὰ πάλιν C || 148 ἢ οἱ M: ἢ om. cett. || 150 τὴν δεσποτείαν... τὸν χρόνον om E || 152 τοῖς χωρίταις... εὐκτήρια: om. Q (add. in marg. Q[1]) || χωρίταις: πολίταις Q[1] || 153-154 ὑπῆρχον: ὑπάρχωσιν G || 154 ἢ οἱ M: οἱ om. cett. || 155 γενομένων: γινομένον DQ || 156 τι om. C || ὁπωσοῦν: ὅπως οὖν G || 157 λαμβάνωσιν GQ: λαμβάνουσιν CDM ||

2. Εἰ δὲ εἴς τινα τῶν αὐτῶν εὐκτηρίων σολέμνια παρὰ βασιλέως ἢ φωταψίαι γεγόνασιν, ἔχουσι δὲ τὰ τοιαῦτα εὐκτήρια καὶ καθίσματα, εἰ τάχα καὶ δίκαιον οὐκ ἔστιν, ἀλλ' ἐπεὶ προνοίας βασιλικῆς ἔφθασαν ἀξιωθῆναι, διαμένειν εἰς τὸ ἑξῆς εἴτε ὑπὸ μητροπολίτην ἢ ὑπὸ ἐπίσκοπον ὑφ' ὃν καὶ νῦν εἰσιν ἔχοντα καὶ πάλιν τὰ αὐτὰ καθίσματα, πλὴν μὴ παραπέμπεσθαι εἰς ἕτερα πρόσωπα· διὰ τοῦτο γὰρ ἡ βασιλεία ἡμῶν οὐδὲ μοναστήρια ὀνομάζει αὐτά, ἀλλ' εὐκτήρια τοῦ χωρίου ἔχοντα ὡς εἴρηται καὶ καλογήρους.

3. Ὅσα δὲ πάλιν ἀπὸ χωρίων καὶ τοῦ τοιούτου τρόπου συνέστησαν μοναστήρια, ἔφθασαν δὲ πολλοὶ τῶν πλησιαζόντων ἐν αὐτοῖς ἀποκαρῆναι, ἀφώρισάν τε καὶ τὰς οἰκείας ὑποστάσεις ἐκεῖ καὶ γεγόνασι μετὰ ταῦτα μεγάλα καί εἰσιν ἐν αὐτοῖς ἀνὰ ὀκτὼ ἢ δέκα ἢ καὶ ἐπέκεινα μοναχῶν εἰ τάχα καὶ δίκαιον οὐκ ἐστίν, ἀλλ' οὖν εὐδοκοῦμεν εἶναι ταῦτα ὑπὸ τοὺς μητροπολίτας καὶ ἐπισκόπους καὶ μὴ διακωλύεσθαι τούτους τοῦ δωρεῖσθαι καὶ παραπέμπειν αὐτὰ ὅπου βούλονται, πλὴν εἴ γε προεῖχον, ἀλλὰ καὶ νῦν ἔχουσιν, ἐπέκεινα τῶν ὀκτὼ ἢ δέκα μοναχῶν καὶ ἰσχύουσι διὰ τῆς παρούσης αὐτοῖς εὐπορίας τούτους διοικεῖν. Οὐδὲ γὰρ δύνανται νέας ἐπικτήσεις ποιεῖσθαι κωλυθέντα πρότερον μὲν παρὰ τοῦ προπάππου ἡμῶν καὶ βασιλέως Ῥωμανοῦ τοῦ γέροντος, νῦν δὲ παρὰ τῆς βασιλείας ἡμῶν. Ἀπὸ γὰρ τῆς παρούσης διατάξεως καὶ πλείονας ἐὰν ἀφορίσωσιν εἰς αὐτὰ μοναχοὺς οἱ μητροπολῖται ἢ οἱ ἐπίσκοποι διὰ τὸ τὴν βασιλείαν ἡμῶν ἄρτι διορίσασθαι μοναστήρια εἶναι τὰ ἐπέκεινα τῶν ὀκτὼ ἢ τῶν δέκα μοναχῶν ἔχοντα, εἰ τάχα καὶ τὴν ἐξαρκοῦσαν τοῖς τοιούτοις μοναχοῖς γῆν ἔχουσιν, οὐ δεχόμεθα ταῦτα ἀλλ' ὡς εἰς ἀνακοινώσεις χωρίων γενόμενα εὐκτήρια λογιζόμεθα οἷα καὶ προείπομεν καὶ ὑπὸ τὰ χωρία πάλιν αὐτὰ ποιοῦμεν.

128 ante εἰς add. καὶ α || ὑπὸ μητροπολίτην αζc: ὑπὸ μητροπολιτῶν ex codd. versionis II Zach. || ὑπὸ ἐπίσκοπον αζc: ὑπὸ ἐπισκόπων ex codd. versionis II Zach. || 128-129 ὑφ' ὃν ζc: ὑφ' ἣν [sc. ἐπισκοπὴν cf. appar. versionis II] α || 133 τρόπου ex versione II: προσώπου αζc || 137 εἰ τάχα αζc: εἰ καὶ τάχα Zach. || 138 διακωλύεσθαι αζ: κωλύεσθαι c || 141 τούτους ζc: τούτοις α || οὐδὲ ζc: οὐδὲν α || 145 οἱ μητροπολῖται ἢ οἱ ἐπίσκοποι αζc: ἢ μητροπολῖται ἢ ἐπίσκοποι Zach. ||

ται τὰ τοιαῦτα χωρία ἔχειν ἐν τοῖς δηλωθεῖσιν εὐκτηρίοις καλογήρους ὅσοι καὶ πρότερον ἐν αὐτοῖς ἦσαν.

2. Εἰ δὲ εἴς τινα τῶν αὐτῶν εὐκτηρίων σολέμνια παρὰ βασιλέως ἢ φωταψίαι γεγόνασιν, ἔχουσι δὲ τὰ τοιαῦτα εὐκτήρια καὶ καθίσματα, εἰ τάχα καὶ δίκαιον οὐκ ἐστίν, ἀλλ' οὖν ἐπεὶ προνοίας βασιλικῆς ἔφθασαν ἀξιωθῆναι, ἵνα διαμένωσι καὶ εἰς τὸ ἑξῆς εἴτε ὑπὸ τὴν μητρόπολιν εἴτε ὑπὸ τὴν ἐπισκοπὴν ὑφ' ἣν καὶ νῦν εἰσίν, ἔχοντα καὶ πάλιν τὰ αὐτὰ καθίσματα, πλὴν ἵνα μὴ παραπέμπωνται εἰς ἕτερα πρόσωπα· διὰ τοῦτο γὰρ ἡ βασιλεία ἡμῶν οὐδὲ μοναστήρια ὀνομάζει αὐτά, ἀλλ' εὐκτήρια τοῦ χωρίου ἔχοντα ὡς εἴρηται καὶ καλογήρους.

3. Ὅσα δὲ πάλιν ἀπὸ χωρίων καὶ τοιούτου τρόπου συνέστησαν μοναστήρια, ἔφθασαν δὲ πολλοὶ τῶν πλησιαζόντων ἐν αὐτοῖς ἀποκαρῆναι, ἀφώρισάν τε καὶ τὰς ἰδίας ὑποστάσεις ἐκεῖ, καὶ γεγόνασι μετὰ ταῦτα μεγάλα, καὶ εἰσὶν ἐν αὐτοῖς ἀνὰ ὀκτὼ ἢ δέκα ἢ ἐπέκεινα καλόγηροι, εἰ τάχα καὶ δίκαιον οὐκ ἐστίν, ἀλλ' οὖν εὐδοκοῦμεν, ἵνα ὥσι ταῦτα ὑπὸ τοὺς μητροπολίτας καὶ τοὺς ἐπισκόπους καὶ ἵνα μηδὲν οἱ τοιοῦτοι διακωλύωνται τοῦ δωρεῖσθαι καὶ παραπέμπειν αὐτὰ ὅπου βούλονται, πλὴν εἴ γε προεῖχον ἀλλὰ καὶ νῦν ἔχουσι τὰ τοιαῦτα ἐπέκεινα τῶν ὀκτὼ ἢ δέκα καλογήρων, καὶ ἰσχύουσι διὰ τῆς εὐπορίας ἧς ἔχουσι τούτους διοκεῖν· οὐ γὰρ δύνανται νέας ἐπικτήσεις ποιεῖσθαι, κωλυθέντα πρότερον μὲν παρὰ τοῦ προπάππου ἡμῶν καὶ βασιλέως Ῥωμανοῦ τοῦ γέροντος, νῦν δὲ παρὰ τῆς βασιλείας ἡμῶν. Ἀπὸ γὰρ τῆς παρούσης νομοθεσίας καὶ πλείονας ἐὰν ἀφορίσωσιν εἰς αὐτὰ καλογήρους, εἴτε μητροπολίτης εἴτε ἐπίσκοπος, διὰ τὸ τὴν βασιλείαν ἡμῶν ἄρτι διορίσασθαι ἵνα ὥσι μοναστήρια τὰ ἐπέκεινα ὀκτὼ ἢ δέκα καλογήρων ἔχοντα, εἰ τάχα καὶ τὴν ἐξαρκοῦσαν τοῖς τοσούτοις μοναχοῖς γῆν ἔχουσιν, οὐ δεχόμεθα ταῦτα, ἀλλ' ὡς εἰς ἀνακοινώσεις χωρίων γενόμενα εὐκτήρια λογιζόμεθα, οἷα καὶ προείπομεν, καὶ ὑπὸ τὰ χωρία πάλιν αὐτὰ ποιοῦμεν.

158 ἔχειν: τοῦ ἔχειν C || 162 ἐπεί: ἐπὶ D || 163 ὑπὸ τὴν μητρόπολιν C: ὑπὸ μητροπολίτην Q^1 || 164 ὑπὸ τὴν ἐπισκοπὴν C: ὑπὸ ἐπισκοπὴν C^1Q: ὑπὸ ἐπισκόπων DGM: ὑπὸ ἐπίσκοπον Q^1 || 166 ἡμῶν: μοῦ M || 169-170 ἀφώρισάν τε: ἀφορίσαντες DM || 171 post ἐπέκεινα add. τούτων M || 173 καὶ τούς: τοὺς om. M || 174-175 προεῖχον: πρὸ εἶχον DG || 178 καὶ om. C || 180 μητροπολίτης: μητροπολίτας C || 180-181 ἐπίσκοπος: ἐπισκόπους C || 181 διορίσασθαι: δωρήσασθαι M || ἵνα CQ: καὶ ἵνα DGM || 182 post ἐπέκεινα add. τῶν G ||

4. Τὰ δὲ ἰδιόστατα καὶ ὅσα μεγάλα μοναστήρια ἐκ παλαιοῦ ἦσαν, εἰ τάχα καὶ μοναχοὺς ἄρτι πολλοὺς οὐκ ἔχουσιν, ἀλλὰ τῇ ἀμελείᾳ τοῦ μητροπολίτου τυχὸν ἢ ἐπισκόπου χωρὶς μοναχῶν εἰσι, διοριζόμεθα ταῦτα καὶ πάλιν ὑπὸ τὰς μητροπόλεις καὶ τὰς ἐπισκοπὰς εἶναι, καὶ δωρεῖσθαι καὶ παραπέμπειν αὐτὰ τοὺς μητροπολίτας καὶ τοὺς ἐπισκόπους ὅπου καὶ ὅτε θέλουσι.

Δ 1. Πρὸς τούτοις θεσπίζομεν μὴ εἶναι κατὰ τοῦ δημοσίου χρόνον τὸν ἀποκλείοντα τὸ ἴδιον αὐτοῦ δίκαιον, ἀλλ' ἀνακαλεῖσθαι αὐτὸν τοῦτο ἀπὸ Αὐγούστου καίσαρος καὶ περὶ τὴν τούτου ἀνάληψιν δικαιοῦσθαι, πολλὰ γάρ εἰσι τὰ συνιστῶντα τοῦτον ἐκζητεῖν δι' ὅλου τὰ ἴδια· πρῶτον μὲν τὸ μὴ δύνασθαι ἢ ἐξαρκεῖν τὸν κρατοῦντα τούτου βασιλέα πάντα αὐτὸν ἐκεῖνον ἐπισκέπτεσθαι καὶ ἐπιτηρεῖν διὰ τὸ πολυάσχολον καὶ πολυφρόντιστον τοῦ κοινοῦ καὶ τὸ μυρίαις πανταχόθεν περιστοιχίζεσθαι φροντίσιν, ἔπειτα δὲ τὸ ἀνατιθέναι τὰ τούτου τοῖς ἐξερχομένοις εἰς τὰ θέματα. Ὅθεν δῆλον ἐστὶν ὡς ὅσα μὲν οἱ τοιοῦτοι καλῶς καὶ μετὰ δικαιοσύνης καὶ μὴ πρὸς περιγραφὴν τοῦ δημοσίου ποιήσουσι βέβαια καὶ κεκυρωμένα ἔσονται, ὅσα δὲ παραλόγως καὶ πρὸς περιγραφὴν αὐτοῦ ἀνίσχυρα μενοῦσι, μᾶλλον δέ, εἰ χρή τι καὶ ὑπὲρ τοῦ δημοσίου εἰπεῖν, ὅταν ὁ βασιλεύειν λαχὼν βουληθείη, ἵνα ἔχῃ ἐπ' ἀδείας τὰ τοιαῦτα ζητεῖν καὶ ὡς ἀρεστὸν αὐτῷ ταῦτα διοικεῖν.

2. Ἄλλως τε δὲ οὐδ' εὑρεθήσεται ὡς ἀπερικόπως τεσσαρακονταετία διῆλθε καὶ οὐκ ἐξῆλθεν ἐπόπτης ἢ βασιλικὸς ζητήσων τὸ τοῦ δημοσίου δίκαιον· εἰ δὲ ὁ τοιοῦτος, πρὸς σύστασιν καὶ τὸ ἀνακαλεῖσθαι τὰ τοῦ δημοσίου ἀποστελλόμενος δίκαια, αἰσχροκερδὴς καὶ δολερὸς εὑρισκόμενος, παρορᾶ μὲν τὸ ταῦτα ἐπιζητεῖν καὶ ἀναῤῥύεσθαι, πλεονεκτικῇ δὲ καὶ μοχθηρᾷ γνώμῃ προδότης μᾶλλον τῶν ἐκείνου δικαίων ἀναφανῇ, οὐδὲν παρὰ τοῦτο κατακριθήσεται ὁ δημόσιος ὁ μηδέποτε παυσάμενος τὸ ἑαυτοῦ δίκαιον ἐκζητεῖν. Καὶ τοῦτο ἐπ' αὐτῶν τῶν ἔργων πρακτικῶς εὗρεν ἡ βασιλεία μου ὡς καὶ οἱ ἐπόπται καὶ οἱ ἄλλως προνοούμενοι τοῦ δημοσίου καὶ εἰς δουλείας ἀποστελλόμενοι μυρίους κατ' αὐτῶν τεχνάζονται δόλους καὶ ὀλίγοι εὑρίσκονται οἱ τὰς προστάξεις ἡμῶν ἐκπληροῦντες.

|| 162 ἐπιτηρεῖν αζ: ἐπιτελεῖν c || 172 βασιλικὸς α: βασιλ(ικὸς) ζ (ante ras.): βασιλ(εὺ)ς corr. post ras. ζ¹: βασιλεὺς c || 178 ἐκζητεῖν αζc: ζητεῖν Zach. ||

4. Τὰ δὲ ἰδιόστατα καὶ ὅσα μεγάλα μοναστήρια ἐκ παλαιοῦ ἦσαν, εἰ τάχα καὶ καλογήρους ἄρτι πολλοὺς οὐκ ἔχουσιν, ἀλλὰ τῇ ἀμελείᾳ τοῦ μητροπολίτου τυχὸν ἢ τοῦ ἐπισκόπου χωρὶς καλογήρων εἰσί, διοριζόμεθα, ἵνα καὶ πάλιν ταῦτα ὑπὸ τὰς μητροπόλεις καὶ τὰς ἐπισκοπὰς ὑπάρχωσι, καὶ χαρίζωσι ταῦτα καὶ παραπέμπωσιν οἱ μητροπολῖται καὶ οἱ ἐπίσκοποι ὅπου καὶ ὅτε θέλουσι.

Δ 1. Πρὸς τούτοις θεσπίζομεν, ἵνα μὴ ᾖ χρόνος κατὰ τοῦ δημοσίου δυνάμενος ἀποκλείειν τὸ δίκαιον τούτου, ἀλλ' ἵνα ὁ ῥηθεὶς δημόσιος ἀνακαλῆται τὸ ἴδιον δίκαιον ἀπὸ Αὐγούστου καίσαρος καὶ δικαιῶται περὶ τὴν τούτου ἀνάληψιν. Πολλὰ γάρ εἰσι τὰ συνιστῶντα τοῦτον ἐκζητεῖν διόλου τὰ ἴδια· πρῶτον μὲν τὸ μὴ δύνασθαι ἢ ἐξαρκεῖν τὸν κρατοῦντα τούτου βασιλέα πάντα ἐκεῖνον ἐπισκέπτεσθαι καὶ ἐπιτηρεῖν διὰ τὸ πολυάσχολον καὶ πολυφρόντιστον τοῦ κοινοῦ καὶ τὸ μυρίαις πανταχόθεν περιστοιχίζεσθαι φροντίσιν, ἔπειτα δὲ τὸ ἀνατιθέναι τὰ τούτου τοῖς ἐξερχομένοις εἰς τὰ θέματα. Ὅθεν δῆλον ἐστίν, ὡς ὅσα μὲν οἱ τοιοῦτοι καλῶς καὶ μετὰ δικαιοσύνης καὶ μὴ πρὸς περιγραφὴν τοῦ δημοσίου ποιήσουσι βέβαια καὶ κεκυρωμένα ἔσονται, ὅσα δὲ παραλόγως καὶ πρὸς περιγραφὴν αὐτοῦ ἀνίσχυρα μενοῦσι. Μᾶλλον δέ, εἰ χρή τι καὶ ὑπὲρ τοῦ δημοσίου εἰπεῖν, ὅταν ὁ βασιλεύειν λαχὼν βουληθείη, ἵνα ἔχῃ ἐπ' ἀδείας τὰ τοιαῦτα ζητεῖν καὶ ὡς ἀρεστὸν αὐτῷ ταῦτα διοικεῖν.

2. Ἄλλως τε δὲ οὐδ' εὑρεθήσεται ὡς ἀπερικόπως τεσσαρακονταετία διῆλθε καὶ οὐκ ἐξῆλθεν ἐπόπτης ἢ βασιλικὸς ζητήσων τὸ τοῦ δημοσίου δίκαιον· εἰ δὲ ὁ τοιοῦτος, πρὸς σύστασιν καὶ τὸ ἀνακαλεῖσθαι τὰ τοῦ δημοσίου ἀποστελλόμενος δίκαια, αἰσχροκερδὴς καὶ δολερὸς εὑρισκόμενος, παρορᾷ μὲν τὸ ταῦτα ἐπιζητεῖν καὶ ἀναῤῥύεσθαι, πλεονεκτικῇ δὲ καὶ μοχθηρᾷ γνώμῃ προδότης μᾶλλον τῶν ἐκείνου δικαίων ἀναφανῇ, οὐδὲν παρὰ τοῦτο κατακριθήσεται ὁ δημόσιος ὁ μηδέποτε παυσάμενος τὸ ἑαυτοῦ δίκαιον ἐκζητεῖν. Καὶ τοῦτο ἐπ' αὐτῶν τῶν ἔργων πραγματικῶς εὗρεν ἡ βασιλεία μου ὡς καὶ οἱ ἐπόπται καὶ οἱ ἄλλως προνοούμενοι τοῦ δημοσίου καὶ εἰς δουλείας ἀποστελλόμενοι μυρίους κατ' αὐτοῦ τεχνάζονται δόλους καὶ ὀλίγοι εὑρίσκονται οἱ τὰς προστάξεις ἡμῶν ἐκπληροῦντες.

186 ὅσα μεγάλα μοναστήρια ἐκ παλαιοῦ ἦσαν: οἷα παλαιὰ μοναστήρια ἦσαν G || 189 ταῦτα: τὰ αὐτὰ C: αὐτὰ M || ὑπάρχωσι: ὑπάρχουσι M || 190 χαρίζωσι: χαρίζουσι M || παραπέμπωσιν: παραπέμπουσιν M || 190-191 καὶ οἱ ἐπίσκοποι om. Q (add. in interl. Q^1). || 192 in marg. tit. περὶ χρόνου, ἵνα μὴ ᾖ κατὰ τοῦ δημοσίου DGM: περὶ τοῦ μὴ ἀποκλείεσται χρόνοις τὸν δημόσιον Q: om. C || 194 δικαιῶται CG: δικαίωται D: δικαιοῦται MQ || 196 τὰ ἴδια DGQ: τὸ ἴδιον M: τὰ δίκαια C || 197 post πάντα add. αὐτὸν C || 199 post δὲ add. καὶ C || 204 ὅταν: ὅτ' ἂν G || βασιλεύειν CMQ^1: βασιλεύων DGQ (ante ras.) || ἐπ' ἀδείας: ἐπαδείας C || 206 ἀπερικόπως CDG: ἀπερικόπτως Q: ἀπερισκόπως M || 207 βασιλικός: βασιλεὺς Q || ζητήσων: ζητήσοντος G || τό: post δημοσίου scr. D || 210 παρορᾷ: παρὰ M || τὸ ταῦτα: τὰ τοιαῦτα C || δέ om. DG || 213 πραγματικῶς: πραγμάτων G || 214 μου CM: ἡμῶν Q: om. DG ||

Ε 1. Ἐπὶ πᾶσι δὲ τοῖς εἰρημένοις καὶ τοῦτο θεσπίζομεν. Εἰ τάχα καὶ νόμος παλαιός ἐστι τοὺς πρωτοσπαθαρίους καὶ τοὺς ἀνωτέρω τούτων τῷ φονικῷ περιπίπτοντας μύσει μὴ ἀποθνήσκειν, ἀλλ' ἀτιμοῦσθαι, πανθάνειν τε καὶ ἄλλα ὅσα τῷ νόμῳ ἐκείνῳ διηγόρευται, ἀλλ' οὖν τοὺς φανερῶς ἐλεγχομένους φονεῖς δόλους ἢ συνωμοσίας ἢ συσκευὰς ἢ ἐπιθέσεις πρὸς τὸ μύσους ἄξιον τοῦτο ἔργον ποιοῦντας ἢ τοὺς ὑπηρετουμένους αὐτοῖς παραπείθοντας καὶ τὸ πονηρὸν ἐκτελοῦντας τοῦτο, μηδὲν ἀπὸ τοῦ ἀξιώματος ὠφελεῖσθαι, ἀλλ' ὡς ἀναξίους καὶ ἀτίμους κολάζεσθαι καὶ ἀποθνήσκειν. Πλὴν τοῦτο λέγομεν γίνεσθαι ὅταν ἡ συσκευὴ ἐκ μελέτης καὶ δόλου καὶ ἡ συνωμοσία καὶ ἡ ἐπίθεσις ἀπὸ φανεροῦ καὶ ἀπὸ πονηρᾶς γνώμης ὑπάρχωσι, καὶ πᾶσι καταφανὴς εἴη, ὡς προτροπῇ καὶ συναινέσει καὶ εἰδήσει αὐτῶν, εἴτε λαὸς συνέστη καὶ τὸν προβάντα φόνον ἐνήργησεν, εἴτε οἱ ὑπηρετούμενοι αὐτοῖς διὰ τὴν προϋπάρξασαν μέσον αὐτῶν τε καὶ τοῦ φονευθέντος διαμάχην καὶ φιλονεικίαν τοῦτον ἐτέλεσαν ἢ αὐτοὶ ἐκεῖνοι οἰκειοχείρως τὸ τοιοῦτον ἄθεσμον ἔργον εἰργάσαντο ἢ ἄλλως γνωστοὺς αὐτοῖς καὶ φίλους παρέπεισαν τοῦτο διαπράξασθαι.

ΣΤ 1. Ἐπὶ πᾶσι δὲ τοῖς ἀνωτέρω εἰρημένοις διοριζόμεθα καὶ τοῦτο. Ἐπεὶ χρυσοβούλλια πολλὰ γεγόνασιν ἀφ' οὗ ἡ βασιλεία ἡμῶν τῆς αὐτοκρατορικῆς ἐπέβη ἀρχῆς μέχρις οὗ ὁ πρόεδρος Βασίλειος καὶ παρακοιμώμενος κατέβη, εἰς δὲ τοὺς τοιούτους χρόνους οὐ τὰ δοκοῦντα ἡμῖν ἐγίνετο, ἀλλ' ἐκείνου ἐν πᾶσι θέλησις ἐνηργεῖτο καὶ πρόσταξις, παρακελευόμεθα τὰ ἐν ἐκείνοις τοῖς χρόνοις γενόμενα χρυσοβούλλια πάντα ἄκυρα μένειν καὶ ἀνενέργητα, ὅσα δηλονότι μὴ προεκομίσθησαν μετὰ τοῦτο τῇ βασιλείᾳ μου καὶ τὸ ἐτηρήθη ἐν αὐτοῖς ἐγράφη. Ἡ γὰρ βασιλεία ἡμῶν ἡνίκα τὸν δηλωθέντα πρόεδρον καὶ παρακοιμώμενον κατεβίβασε πρόσταξιν ἐξέθετο, ἵνα πάντες τὰ τοιαῦτα προσκομίσωσι χρυσοβούλλια ὡς ἂν βεβαίωσιν δέξωνται τοῦ ἐτηρήθη οἰκειοχείρῳ ἡμῶν γραφῇ προστιθεμένου ἐν τοῖς τοιούτοις. Ὅσα δὲ οὐ προεκομίσθησαν οὐδὲ ἐδέξαντο τὴν βεβαίωσιν ἄκυρα καὶ ἀβέβαια ἔστωσαν ὡς νόθα καὶ ψευδῆ· εἰ γὰρ ἀληθῆ ἦσαν προεκομίσθησαν ἂν παρὰ τῶν ἐχόντων αὐτά.

194 οἱ ζ¹c: om. αζ || προϋπάρξασαν ζ¹c: ὑπάρξασαν αζ || 194-195 μέσον αὐτῶν ζ¹c: μέσον πρὸ αὐτῶν αζ || 197 παρέπεισαν ζc: παρεπείσατο α || 200 καὶ α: ὁ ζc || 202 ἐγίνετο α: ἐγένετο ζc ||

E 1. Ἐπὶ πᾶσι τοῖς εἰρημένοις καὶ τοῦτο θεσπίζομεν· εἰ τάχα καὶ νόμος παλαιός ἐστι τοὺς πρωτοσπαθαρίους καὶ τοὺς ἀνωτέρω τούτων τῷ φονικῷ περιπίπτοντας μύσει μὴ ἀποθνήσκειν, ἀλλ' ἀτιμοῦσθαι, πανθάνειν τε καὶ ἄλλα ὅσα τῷ νόμῳ ἐκείνῳ διηγόρευται, ἀλλ' οὖν τοὺς φανερῶς ἐλεγχομένους φονεῖς καὶ δόλους ἢ συνωμοσίας ἢ συσκευὰς ἢ ἐπιθέσεις πρὸς τὸ μύσους ἄξιον τοῦτον ἔργον ποιοῦντας ἢ τοὺς ὑπηρετουμένους αὐτοῖς παραπείθοντας καὶ τὸ πονηρὸν ἐκτελοῦντας τοῦτο μηδὲν ἀπὸ τοῦ ἀξιώματος ὠφελεῖσθαι, ἀλλ' ὡς ἀναξίους καὶ ἀτίμους κολάζεσθαι καὶ ἀποθνήσκειν. Πλὴν τοῦτο λέγομεν γίνεσθαι, ὅταν ἡ συσκευὴ ἐκ μελέτης καὶ δόλου καὶ ἡ συνωμοσία καὶ ἡ ἐπίθεσις ἀπὸ φανεροῦ καὶ ἀπὸ πονηρᾶς γνώμης ὑπάρχωσι, καὶ πᾶσι καταφανὲς εἴη, ὡς προτροπῇ καὶ συναινέσει καὶ εἰδήσει αὐτῶν, εἴτε λαὸς συνέστη καὶ τὸν προβάντα φόνον ἐνήργησεν, εἴτε οἱ ὑπηρετούμενοι αὐτοῖς διὰ τὴν προϋπάρξασαν μέσον αὐτῶν τε καὶ τοῦ φονευθέντος διαμάχην καὶ φιλονεικίαν τοῦτον ἐτέλεσαν, ἢ αὐτοὶ ἐκεῖνοι οἰκειοχείρως τὸ τοιοῦτον ἄθεσμον ἔργον εἰργάσαντο, ἢ ἄλλους γνωστοὺς αὐτοῖς καὶ φίλους παρέπεισαν τοῦτο διαπράξασθαι.

ΣΤ 1. Ἐπὶ πᾶσι δὲ τοῖς ἀνωτέρω εἰρημένοις διοριζόμεθα καὶ τοῦτο. Ἐπεὶ χρυσοβούλλια πολλὰ γεγόνασιν, ἀφ' οὗ ἡ βασιλεία ἡμῶν τῆς αὐτοκρατορικῆς ἐπέβη ἀρχῆς μέχρις οὗ ὁ πρόεδρος Βασίλειος καὶ παρακοιμώμενος κατέβη, εἰς δὲ τούς τοιούτους χρόνους οὐ τὰ δοκοῦντα ἡμῖν ἐγίνετο, ἀλλ' ἡ ἐκείνου ἐν πᾶσι θέλησις ἐνηργεῖτο καὶ πρόσταξις, παρακελευόμεθα τὰ ἐν ἐκείνοις τοῖς χρόνοις γενόμενα χρυσοβούλλια πάντα ἄκυρα μένειν καὶ ἀνενέργητα, ὅσα δηλονότι μὴ προεκομίσθησαν μετὰ τοῦτο τῇ βασιλείᾳ μου καὶ τὸ ἐτηρήθη ἐν αὐτοῖς ἐγράφη. Ἡ γὰρ βασιλεία ἡμῶν ἡνίκα τὸν δηλωθέντα πρόεδρον καὶ παρακοιμώμενον κατεβίβασε, πρόσταξιν ἐξέθετο, ἵνα πάντες τὰ τοιαῦτα προσκομίσωσι χρυσοβούλλια, ὡς ἂν βεβαίωσιν δέξωνται, τοῦ ἐτηρήθη οἰκειοχείρῳ ἡμῶν γραφῇ προστιθεμένου ἐν τοῖς τοιούτοις. Ὅσα δὲ οὐ προεκομίσθησαν οὐδὲ ἐδέξαντο τὴν βεβαίωσιν ἄκυρα καὶ ἀβέβαια ἔστωσαν ὡς νόθα καὶ ψευδῆ, εἰ γὰρ ἀληθῆ ἦσαν, προεκομίσθησαν ἂν παρὰ τῶν ἐχόντων αὐτά.

|| 218 in marg. tit. περὶ φόνου DGMQ: om. C || τοῖς: δὲ τοῖς C || 219 νόμος: ὁ νόμος C || ἐστι ex versione I: ἐπὶ codd. || 221 τε: δὲ C || φανερῶς: φανεροὺς C || 223 μύσους: μύσος C || ἄξιον τοῦτο: τοῦτο ἄξιον M || 224 τοῦτο: τοῦτον G || 226 ὅταν: ὅτ' ἂν G || 228 προτροπῇ: προτροπὴ D || 229 συνέστη: συνείη D || 230 αὐτοῖς CQ: αὐτῶν DGM || προϋπάρξασαν μέσον αὐτῶν Q^1: ὑπάρξασαν μέσον πρὸ αὐτῶν CDGMQ || 234 in marg. tit. περὶ τῶν χρυσοβουλλίων DGMQ: om. C || 236 καί: ὁ C: om. Q (add. Q^1) || 238 ἐγίνετο CGMQ: ἐγένετο D || 240 μή: οὐ M || 243 πάντες: πάντας M || 243-244 χρυσοβούλλια ὡς ἂν βεβαίωσιν CQ^1: om. cett. || 244 δέξωνται CDGQ: δέξονται M || 244-245 γραφῇ: ὑπογραφῇ M || 247 post αὐτὰ add. in marg. ζήτει... C ||.

Z 1. Τελευταῖον δὲ καὶ τὸ περὶ τοῦ δικαίου τῶν πανηγύρεων στασιασθὲν βουλόμεθα τὴν προσήκουσαν τάξιν λαχεῖν· ἐπεὶ γὰρ ἐδεήθησαν τινὲς διεγκαλοῦντες, ὡς ἔκπαλαι τῶν χρόνων ἐχόντων αὐτῶν πανήγυριν συνισταμένην ἐν τοῖς ἰδίοις τόποις, ἀφίστανται τούτων καὶ ἀναχωροῦσιν οἱ τὴν πανήγυριν συνιστῶντες πραγματευταί, καὶ τοὺς μὲν παλαιοὺς δεσπότας τῆς πανηγύρεως ἐρήμους καταλιμπάνουσιν, ἐν δὲ τοῖς τόποις τῶν ὑποδεχομένων αὐτοὺς καινίζουσι τὴν πανήγυριν, κελεύομεν, εἴπερ ποτὲ τοιοῦτόν τι γένηται, εἰ μὲν ἀθρόον πάντες καὶ ὁμοθυμαδὸν οἱ πανηγυρισταὶ καὶ ἔμποροι, οἵ τε αὐτόχθονες καὶ οἱ ἐπήλυδες, ἀφίστανται μὲν ἀπὸ τοῦ παλαιοῦ δεσπότου τῆς πανηγύρεως, προσέρχονται δὲ ἑτέροις τόποις καινίζοντες τὴν πανήγυριν, ἔχειν αὐτοὺς τὸ ἀκώλυτον καὶ ἐλεύθερον, καὶ ὡς ἂν δὴ καὶ βούλονται διενεργεῖν τῆς πανηγύρεως τοπικὴν μετάθεσιν, μὴ βιαζομένους πάντως, ἀλλ' ἑκουσίως καὶ αὐθαιρέτως πρὸς τοῦτο φερομένους. Εἰ δὲ διάστασις ἐν τοῖς πανηγυρισταῖς γένηται, καὶ οἱ μὲν αἱροῦνται εἶναι ἐν οἷς τόποις καὶ πρότερον ἐπανηγύριζον, οἱ δὲ τούτων ἀφίστανται καὶ πρὸς τοὺς ἑτέρους μεθίστανται, τηνικαῦτα τὸ διαφέρον τῇ ἀρχαιότητι κρατεῖν, καὶ τοὺς ἀφισταμένους μᾶλλον, ὁποῖοι ἄν τινες καὶ εἶεν, συνελαύνεσθαι πρὸς τὴν ἕνωσιν τῶν αἱρουμένων καὶ κρατεῖν τὸ παλαιὸν τοῦ τόπου προνόμιον.

2. Καὶ ἐπεὶ αἱ μεταστάσεις ἤτοι μεταθέσεις τῶν πανηγύρεων τετραχῶς τὴν διαίρεσιν δέχονται, ἢ γὰρ ἀπὸ δυνατῶν εἰς δυνατοὺς εἰώθασι μετατίθεσθαι, ἢ ἀπὸ ἀδυνάτων εἰς ἀδυνάτους, ἢ ἀπὸ δυνατῶν εἰς ἀδυνάτους, ἢ ἀπὸ ἀδυνάτων εἰς δυνατούς, τὰ μὲν ἤδη προθεσπισθέντα ἐπὶ τῶν τριῶν καὶ πρώτων καὶ μόνων τὴν ἰσχὺν ἔξει θεμάτων, ἤτοι ἐπί τε τῶν ἐκ δυνατῶν εἰς δυνατοὺς μεταθέσεων καὶ ἀπὸ ἀδυνάτων εἰς ἀδυνάτους καὶ ἀπὸ δυνατῶν εἰς ἀδυνάτους· τὸ γὰρ τέταρτον κεφάλαιον εἰδικωτέρας καὶ φιλανθρωποτέρας τεύξεται τῆς ἡμετέρας ἑρμηνείας. Ἐπεὶ γὰρ εὐχέρεια τοῖς δυνατοῖς πολλή τις ἐστὶ πρὸς τὸ τὰς πανηγύρεις ἀπὸ τῶν δικαίων τῶν ἀδυνάτων ἐπισπᾶσθαι, θεσπίζομεν ἐν τούτῳ τῷ κεφαλαίῳ μὴ ἄλλως τοῦτο παραχωρεῖν γίνεσθαι, ἤγουν τὴν ἀπὸ ἀδυνάτων εἰς δυνατοὺς τῆς πανηγύρεως μετάθεσιν, εἰ μὴ ὁμοθυμαδὸν ἀναχωρεῖ ἅπασα ἑκουσίως καὶ ἐκεῖσε μεθίσταται ἔνθα καὶ πρότερον καὶ ἐκ παλαιοῦ συνίστατο, ὡς συντρέχειν ἐνταῦθα τὰ δύο εὔλογα τό τε τῆς ἀρχαιότητος δίκαιον καὶ τὴν τοῦ παντὸς πλήθους σύῤῥοιάν τε καὶ σύμπνοιαν· καὶ γὰρ εἰ τάχα ἐν τοῖς ἄλλοις τρισὶ θέμασι καὶ τὸ ἓν εὔλογον ὂν μόνον οἶδεν ἀρκεῖν, οἷον μόνην τὴν σύμπνοιαν, ὅτε ἅπασα μεθίσταται ἡ πανήγυρις, ἢ μόνην τὴν ἀρχαιότητα, διισταμένης δηλονότι καὶ διατεμνομένης εἰς δύο τῆς πανηγύ-

